οὐδὲ ἀπολογίας ἀπήλαυσεν ἀλλὰ τὰ ἀνήκεστα ἔπαθε, κελευσθεὶς ἅπαν καταθεῖναι τὸ χρέος, ὃ προλαβοῦσα ἡ τοῦ θεοῦ συνεχώρησε φιλανθρωπία. διὰ ταῦτα οὖν εἰπέ μοι, ὁ πλοῦτός σοι περισπούδαστος, ὅτι σε εἰς τοιαύτην ἁμαρτίαν μετ' εὐκολίας ἐξάγει; καὶ μὴν διὰ τοῦτο αὐτὸν ὡς ἐχθρὸν καὶ πολέμιον καὶ μυρίων γέμοντα φόνων ἀποστρέφεσθαι δεῖ.

Ἀλλ' ἡ πενία φησὶ παρασκευάζει δυσχεραίνειν, καὶ πολλάκις καὶ βλάσφημα ῥήματα καταβάλλειν, καὶ ἀνελεύθερα πράγματα ὑπομένειν. οὐχ ἡ πενία, ἀλλ' ἡ μικροψυχία. ἐπεὶ καὶ ὁ Λάζαρος πένης ἦν, καὶ σφόδρα γε πένης· καὶ τῇ πενίᾳ προσῆν καὶ ἀῤῥωστία πενίας ἁπάσης πικροτέρα, ἣ καὶ τὴν πενίαν ταύτην χαλεπωτέραν ποιοῦσα· καὶ τῇ ἀῤῥωστίᾳ ἐρημία

*acerbissimum supplicium perpessus est, iussus totum soluere debitum, quòd præueniens DEI benignitas condonauerat. Propptereáne igitur diuitiarum adeò cupidus es, quòd te facilè ad eiusmodi peccatum perducunt? Atqui ob id ea tanquam inimica & hostes atq; infinitis refertæ cædibus, auersanda sunt.*

*At paupertas, inquit, molestias creat, ac sæpe etiã facit vt maledica in Deũ verba effutias, ac illiberalia negotia suscipias. Nõ paupertas, sed pusillanimitas. nã et Lazarus pauper erat, & admodũ quidẽ pauper; paupertati accedebat aduersa valetudo omni paupertate acerbior, q̃ paupertatẽ quoq; reddebat grauiorẽ: ad*

*uersæ va-*